ΚΕΙΜΕΝΟ:
ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ 2,3 &50-51, 56

[50] Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας ὅτι εἰ ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε, καὶ ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις.

[51] Πάλιν δὲ εἰσελθὼν εἶπεν:˝ Ἐγώ, ὦ βουλή, νομίζω προστάτου ἔργον εἶναι οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ ἐπιτρέπῃ. Καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. Καὶ γὰρ οἵδε οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. Ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνῄσκειν ἄνευ τῆς ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. Ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, συνδοκοῦν ἅπασιν ἡμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν.˝

[56] Οἱ δ ᾽ ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχε. Λέγεται δ ᾽ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. Ὡς εἶπεν ὁ Σάτυρος ὅτι οἰμώξοιτο εἰ μὴ σιωπήσειεν, ἐπήρετο: ῾Ἂν δὲ σιωπῶ, οὐκ ἄρ ᾽, ἔφη, οἰμώξομαι;᾽ καὶ ἐπεί γε ἀποθνῄσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν: ˝Κριτίᾳ τοῦτ ᾽ ἔστω τῷ καλῷ᾽. Καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα, ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστόν, τὸ τοῦ θανάτου παρεστηκότος μήτε τὸ φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

ΠΑΡΑΤΗΡΗΣΕΙΣ

1. Να μεταφραστούν τα παρακάτω αποσπάσματα: « Πάλιν δὲ εἰσελθὼν ... κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν», « καὶ ἐπεί γε ἀποθνῄσκειν ἀναγκαζόμενος ....φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.»

(μονάδες 35)

2. Να γραφούν οι ζητούμενοι τύποι:

ἐπιθορυβήσασα:	ο ίδιος τύπος στον Ενεστώτα
διαψηφίζεσθαι:	β΄ ενικό πρόσωπο ευκτικής Μέλλοντα
προσελθὼν:	β΄ πληθυντικό προστακτικής του ίδιου χρόνου
διαλεχθείς:	γ΄ πληθυντικό πρόσωπο υποτακτικής του ίδιου χρόνου
ἐξαπατωμένους:	β΄ ενικό πρόσωπο οριστικής Παρατατικού
ὑμετέρας:	αιτιατική πληθυντικού ουδετέρου γένους, γ΄ πρόσωπο, για έναν κτήτορα
θανατοῦν:	απαρέμφατο Αορίστου
ῥῆμα:	δοτική πληθυντικού
καλῷ:	αιτιατική πληθυντικού ουδετέρου γένους στο συγκριτικό βαθμό
τοῦτο:	αιτιατική πληθυντικού θηλυκού γένους

(μονάδες 20)

3. α) «Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, ...ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις»: Να γραφούν και να αναγνωριστούν ως προς το είδος τους οι προτάσεις της παραπάνω περιόδου.

(μονάδες 12)

β) Να αναγνωριστούν πλήρως συντακτικά οι παρακάτω λέξεις:
ἐπιθορυβήσασα, ἀποθνῄσκειν, ἡμῖν, τὸ ἀπολιπεῖν

(μονάδες 8)

Μονάδες 20

4. α) Να γραφεί μια παράγωγη λέξη (απλή ή σύνθετη) της νέας ελληνικής για καθεμιά από τις παρακάτω λέξεις του πρωτότυπου κειμένου:
γνοὺς, προσελθὼν, συνδοκοῦν, ἀπήγαγον, ἐπήρετο

(μονάδες 5)

β) Με ποιους τύπους του πρωτότυπου κειμένου έχουν ετυμολογική συγγένεια οι παρακάτω λέξεις της νέας ελληνικής:
ανεξίτηλος, συμπάθεια, επικός, προφήτης, ουσιώδης

(μονάδες 5)

Μονάδες 10

5. Ποια στοιχεία του αποσπάσματος καταδεικνύουν ότι το αποτέλεσμα της δίκης του Θηραμένη ήταν προδιαγεγραμμένο;

(μονάδες 15)